## Ὑπόθεσις Ἱππολύτου.

*Θησεὺς υἱὸς μὲν ἦν Αἴθρας καὶ Ποσειδῶνος, βασιλεὺς δὲ Ἀθηναίων· γήμας δὲ μίαν τῶν Ἀμαζονίδων Ἱππολύτην, Ἱππόλυτον ἐγέννησε κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα. ἐπεὶ δὲ ἡ συνοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο Κρητικὴν γυναῖκα, τὴν Μίνω τοῦ Κρητῶν βασιλέως καὶ Πασιφάης θυγατέρα Φαίδραν. ὁ δὲ Θησεὺς Πάλλαντα, ἕνα τῶν συγγενῶν, φονεύσας φεύγει εἰς Τροιζῆνα μετὰ τῆς γυναικός, οὗ συνέβαινε τὸν Ἱππόλυτον παρὰ Πιτθεῖ τρέφεσθαι. θεασαμένη δὲ τὸν νεανίσκον ἡ Φαίδρα εἰς ἐπιθυμίαν ὤλισθεν, οὐκ ἀκόλαστος οὖσα, πληροῦσα δὲ Ἀφροδίτης μῆνιν, ἣ τὸν Ἱππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κρίνασα τὴν Φαίδραν εἰς ἔρωτα παρώρμησε, τέλος δὲ τοῖς προτεθεῖσιν ἐπέθηκε. στέγουσα δὲ τὴν νόσον χρόνῳ πρὸς τὴν τροφὸν δηλῶσαι ἠναγκάσθη, κατεπαγγειλαμένην αὐτῇ βοηθήσειν· ἥτις καὶ παρὰ τὴν προαίρεσιν λόγους προσήνεγκε τῷ νεανίσκῳ. τραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦσα τῇ μὲν*

---

Argum. om. *L* | *ἱππολύτου ὑπόθεσις A* Lin. 1 *υἱὸς μὲν dN*, *υἱὸς* om. *AEaBCP* | *αἴθρας ἱππολύτης C* et vocabulo *ἱππολύτης* linea minio subscripta *E*, *αἴθρας υἱὸς* (*υἱὸς* alia m. in rasura novem fere literarum scr., fuerat scilicet *ἱππολύτης*) *a* | *ποσειδῶνος υἱὸς C* 2 *δὲ* om. *a* | *δὲ ἦν ὁ θησεὺς C* | *ἀμαζόνων C* | *Ἱππολύτην*] *ἀντιόπην d* 3 *διαφέροντα*] *διαπρέποντα c* 5 *μίνωος aCN* 5 sq. *καὶ πασιφάης* habent *BdNP*, om. *AEaC* 7 *τροίζηνα A* | *τῆς* om. *C* 8 *συνέβη N* | *παρὰ τῷ E* | *στρέφεσθαι P* 9 *ὠλίσθησεν B* 11 sq. verba *τὴν* .. *παρώρμησε* om. *AEaC*, superscr. *B*, habent in textu *NP*, nisi quod *τὴν P* omisit 12 *δὲ* om. *EaC* | *ἐπέθηκε NP*, *ἔθηκεν* vel *ἔθηκε Aa EBC* | verba *τέλος* .. *ἐπέθηκε* inutilia 13 *στέγουσα*] Valckenaer, *στέργουσα* libri | *δὲ*] *γὰρ N* | *νόσον* om. *A* | *ἡ Φαίδρα* post *νόσον* addit *N* 14 *κατεπαγγειλαμένην*] Brunck, *κατεπαγγειλαμένη* libri, nisi quod *ἡ δὲ κατεπηγγείλατο N* | *βοηθῆσαι EaBC* 15 *καὶ παρὰ NdP* *κατὰ AEaBC* | *προήνεγκε Aa*